ἄρα οὐδὲ ὁ Ζ τὸν Η. οὐ
κ ἄρα μονάς ἐστιν ὁ Ζ.
καὶ γὰρ μονὰς πάντα
ἀριθμὸν μετρεῖ. καὶ εἰ
σιν οἱ Ζ Θ πρῶτοι
πρὸς ἀλλήλους. οὐ
δὲ ὁ Ζ ἄρα τὸν Θ με
τρεῖ. καὶ ἐστιν ὡς ὁ Ζ
πρὸς τὸν Θ. οὕτως ὁ
Α πρὸς τὸν Γ. οὐδὲ ὁ Α ἄρα τὸν Γ μετρεῖ. ὁμοίως δὴ
δείξομεν, ὅτι οὐδὲ ἄλλος οὐδεὶς οὐδένα μετρεῖ. ὅ
περ ἔδει δεῖξαι:-



Ἐὰν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον. ὁ δὲ
πρῶτος τὸν ἔσχατον μετρῇ. καὶ τὸν δεύτερον μετρή
σει. ἔστωσαν ὁποσοιοῦν
ἀριθμοὶ ἑξῆς ἀνάλογον
οἱ Α Β Γ Δ. ὁ δὲ Α τὸν Δ με
τρείτω. λέγω ὅτι καὶ ὁ Α
τὸν Β μετρεῖ. εἰ γὰρ μὴ
μετρεῖ ὁ Α τὸν Β. οὐδὲ ἄλ
λος οὐδεὶς οὐδένα με
τρήσει. μετρεῖ δὲ ὁ Α τὸν
Δ. μετρεῖ ἄρα καὶ ὁ Α τὸν Β. ὅπερ ἔδει δεῖξαι:-



Η Ἐὰν δύο ἀριθμῶν μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον
ἐμπίπτωσιν ἀριθμοί. ὅσοι εἰς αὐτοὺς μεταξὺ κα
τὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτουσιν ἀριθμοί. το
σοῦτοι καὶ εἰς τοὺς τὸν αὐτὸν λόγον ἔχοντας αὐτοῖς μεταξὺ κα
τὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεσοῦνται. δύο γὰρ ἀριθμῶν
τῶν Α Β μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπιπτέτω
σαν ἀριθμοὶ οἱ Γ Δ. καὶ πεποιήσθω ὡς ὁ Α πρὸς τὸν
Β. οὕτως ὁ Ε πρὸς τὸν Ζ. λέγω ὅτι ὅσοι εἰς τοὺς Α Β μετα
ξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεπτώκασιν ἀριθμοί.
τοσοῦτοι καὶ εἰς τοὺς Ε Ζ μεταξὺ κατὰ τὸ συνεχὲς ἀνά
λογον ἐμπεσοῦνται. ὅσοι γάρ εἰσι τῷ πλήθει οἱ
Α Β Γ Δ. τοσοῦτοι εἰλήφθωσαν ἐλάχιστοι ἀριθμοὶ τῶν
τὸν αὐτὸν λόγον ἐχόντων τοῖς Α Β Γ Δ οἱ Η Θ Κ Λ. οἱ ἄ
ρα ἄκροι αὐτῶν οἱ Η Λ πρῶτοι πρὸς ἀλλήλους ἐστίν.
καὶ ἐπεὶ οἱ Α Γ Δ Β τοῖς Η Θ Κ Λ ἐν τῷ αὐτῷ λόγῳ ἐστίν:
καὶ ἔστιν ἴσον τὸ πλῆθος τῶν Α Γ Δ Β τῷ πλήθει τῶν
Η Θ Κ Λ. δι᾽ ἴσου ἄρα ἐστὶν ὡς ὁ Α πρὸς τὸν Β. οὕτως ὁ
Η πρὸς Λ. ὡς δὲ ὁ Α πρὸς τὸν Β οὕτως ὁ Ε πρὸς τὸν Ζ.
καὶ ὡς ἄρα ὁ Η πρὸς τὸν Λ οὕτως ὁ Ε πρὸς τὸν Ζ. οἱ δὲ
Η Λ πρῶτοι. οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι. οἱ δὲ ἐλάχι
στοι ἀριθμοὶ μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας
αὐτοῖς ἰσάκις. ὅ τε μείζων τὸν μείζονα καὶ ὁ ἐλάσσων
τὸν ἐλάσσονα. τουτέστιν ὅ τε ἡγούμενος τὸν ἡγού
μενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον. ἰσάκις ἄρα
ὁ Η τὸν Ε μετρεῖ καὶ ὁ Λ τὸν Ζ. ὁσάκις δὴ ὁ Η τὸν Ε με
τρεῖ. τοσαυτάκις καὶ ἑκάτερος τῶν Θ Κ ἑκάτερον
τῶν Μ Ν μετρείτω. οἱ Η Θ Κ Λ ἄρα τοὺς Ε Μ Ν Ζ ἰσάκις
μετροῦσιν. οἱ Η Θ Κ Λ ἄρα τοῖς Ε Μ Ν Ζ ἐν τῷ αὐτῷ
λόγῳ εἰσίν. ἀλλ᾽ οἱ Η Θ Κ Λ τοῖς Α Γ Δ Β ἐν τῷ αὐτῷ

BIBL. BODL.